ἀριθμητικὴ οὐ διδάσκει ἡμᾶς ὅσα ἐστὶ τὰ τοῦ ἀριθμοῦ x), καὶ ὁ ἀριθμητικὸς ἄνθρωπος; ΓΟΡ. Πάνυ γε. ΣΩ. Οὐκοῦν καὶ πείθει; ΓΟΡ. Ναί. ΣΩ. Πειθοῦς ἄρα δημιουργός ἐστι καὶ ἡ ἀριθμητική. ΓΟΡ. Φαίνεται. ΣΩ. Οὐκοῦν ἐάντις ἐρωτᾷ ἡμᾶς ποίας πειθοῦς καὶ περὶ τί, ἀποκρινούμεθά που y) αὐτῷ, ὅτι τῆς διδασκαλικῆς τῆς περὶ τὸ ἄρτιόν τε καὶ τὸ περιττὸν ὅσον ἐστί, καὶ τὰς ἄλλας ἃς νῦν δὴ ἐλέγομεν z) τέχνας ἁπάσας, ἔξομεν ἀποδεῖξαι πειθοῦς δημιουργοὺς οὔσας, καὶ ἥστινος, καὶ περὶ ὅ, τι. ἢ οὔ; ΓΟΡ. Ναί. ΣΩ. Οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστὶ δημιουργός. ΓΟΡ. Ἀληθῆ λέγεις. ΣΩ. Ἐπειδὴ τοίνυν 9
οὐ μόνη ἀπεργάζεται τοῦτο τὸ ἔργον, ἀλλὰ καὶ ἄλλαι, δικαίως ὥσπερ περὶ τοῦ ζωγράφου, μετὰ τοῦτο a) ἐπανεροίμεθ' ἂν τὸν λέγοντα, ποίας δὴ πειθοῦς καὶ τῆς περὶ τί πειθοῦς ἡ ῥητορικὴ ἐστὶ τέχνη. ἢ οὐ δοκεῖ σοι δίκαιον εἶναι b) ἐπανέρεσθαι; ΓΟΡ. Ἐμοι-

Conſentit Ficinus, qui vertit: *Rurſus autem in eisdem artibus, quas paulo ante commemorabamus, ita conſideremus.* Inſuper etiam legit λέγωμεν pro λέγομεν.

x) Cod. vterque ἀριθμητικοῦ, et in Cod. Meerm. nomini ἀριθμητικὸς ſuperſcriptum erat ποῖος.

y) Si particula ποῦ h. l. non redundat, eſt *ſine dubio, ni fallor.* Thomas Mag. loco ante laudato: Ποῦ — καὶ ἀντὶ τοῦ ἴσως καὶ ἀργόν. In Cod. Meerm. erat πω, more conſueto, quo hae duo particulae ſaepius confuſae reperiuntur.

z) Baſ. 2. εἴπομεν, et mox περὶ ὅτου pro περὶ ὅ, τι, bene. Sic περὶ eſt modo cum Genitiuo, modo cum Accuſatiuo. Vid. Ind. in Περὶ. In Ald. eſt ὅτι pro ὅ, τι, perperam.

a) Cod. Meerm. μετα τέτο.

b) Infinitiuus εἶναι in Cod. vtroque deſiderabatur. Ibidem ante pro ἡ erat ἧς, quod recepi.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id379444410/67 gefördert von der Deutschen Forschungsgemeinschaft DFG